δὲ τοὺς ὀφθαλμοὺς ποιεῖ μετὰ τοῦ εὐπρεποῦς ὑποχαροπούς. ὁ δὲ τοῦ ☿ ἀνατολικός, τῇ μὲν μορφῇ ποιεῖ μελίχροας, καὶ ξυμμέτρους τοῖς μεγέθεσι, καὶ εὐρύθμους, καὶ μικροφθάλμους, καὶ μεσότριχας. τῇ κράσει τὸ πλέον ἔχοντας ἐν τῷ θερμῷ, δυτικὸς δὲ ὑπάρχων, τῇ μὲν μορφῇ μελίχροας, καὶ σπανούς, καὶ ἰσχνούς, καὶ * κυνοφθάλμους, καὶ αἰγόποδας, καὶ ὑπερύθρους. τῇ δὲ κράσει τὸ πλέον ἔχοντας ἐν τῷ ξηρῷ. συμβάλλουσι δ' ἑκάστῳ τούτων σχηματισθέντες, ὁ μὲν ☉, ἔτι τὸ μεγαλοπρεπέστερον καὶ εὐεκτικώτερον. ἡ δὲ ☽, καὶ μάλιστα ὅταν αὐτῆς τῷ ἀπόρροιαι ἐπιχωσί, καθόλου μὲν ἔτι τὸ συμμετρώτερον καὶ ἰσχνότερον ἐν τῇ κράσει ὑγρότερον, κατὰ μέρος δ' ἀναλόγως τῇ τῶν φωτισμῶν ἰδιότητι καθάπερ ἐν ἀρχῇ τῆς συντάξεως ἐξεθέμεθα. Πάλιν δὲ καθόλου ἑῷοι μὲν ὄντες, καὶ φάσιν ποιησάμενοι, μεγαλοποιοῦσι τὰ σώματα, στηρίζοντες δὲ τὸ πρῶτον, ἰσχυρὰ καὶ εὔτονα. προηγούμενοι δέ, ἀσύμμετρα, τὸ δὲ δεύτερον στηρίζοντες, ἀσθενέστερα. δύνοντες δέ, ἄδοξα μὲν παντελῶς, οἰστικὰ δὲ κακουχιῶν. καὶ τῶν τόπων δὲ αὐτῶν πρὸς τοὺς σχηματισμοὺς μάλιστα τῶν διατυπώσεων καὶ τὰς κράσεις ὡς ἔφαμεν συνοικειούντων, καθόλου πάλιν, τὸ μὲν ἀπὸ ἐαρινῆς ἰσημερίας ἕως θερινῆς τροπῆς τεταρτημόριον, ποιεῖ εὐχρόας, εὐμεγέθεις, εὐέκτας, εὐοφθάλμους. τὸ δὲ πλέον ἔχοντας ἐν τῷ ὑγρῷ καὶ θερμῷ. τὸ δ' ἀπὸ θερινῆς τροπῆς μέχρι μετοπωρινῆς ἰσημερίας, μεσόχροας. συμμέτρους τοῖς μεγέθεσιν. εὐέκτας. μελανοφθάλμους δασεῖς. οὐλότριχας. τὸ πλέον ἔχοντας ἐν τῷ θερμῷ καὶ ξηρῷ. τὸ δὲ ἀπὸ μετοπωρινῆς ἰσημερίας, μέχρι χειμερινῆς τροπῆς, μελίχροας, ἰσχνούς, νοσώδεις, σπανούς, μεσότριχας, εὐοφθάλμους, τὸ πλέον ἔχοντας ἐν τῷ ψυχρῷ καὶ ξηρῷ. τὸ δ' ἀπὸ χειμερινῆς τροπῆς, ἕως ἐαρινῆς ἰσημερίας, μελίχροας, συμμέτρους τοῖς μεγέθεσι, τετανότριχας, ὑποψίλους, τὸ πλέον ἔχοντας ἐν τῷ ψυχρῷ καὶ ὑγρῷ, κατὰ μέρος δὲ τὰ μὲν ἀνθρωποειδῆ τῶν ζωδίων, τῶν τε ἐν τῷ ζωδιακῷ, καὶ τῶν ἐκτός, εὔρυθμα, καὶ σύμμετρα τοῖς σχήμασι τὰ σώματα κατασκευάζει, τὰ δ' ἑτερόμορφα, μετασχηματίζει πρὸς τὸ τῆς ἰδίας μορφώσεως οἰκεῖον, τὰς τοῦ σώματος συμμετρίας. καὶ κατά τινα λόγον ἀφομοιοῖ τὰ οἰκεῖα μέρη τοῖς ἑαυτῶν, ἤτοι πρὸς τὸ μεῖζον καὶ ἔλαττον ἢ πρὸς τὸ ἰσχυρότερον καὶ ἀσθενέστερον καὶ εὐρυθμότερον. πρὸς τὸ μεῖζον μὲν ὡς λόγου ἕνεκεν ὁ λέων, καὶ ἡ παρθ. καὶ ὁ ♐. πρὸς δὲ ἔλαττον δέ, ὡς ἰχθύες, καὶ ὁ καρκίνος, καὶ ὁ αἰγόκερως. καὶ πάλιν ὡς πρὸς τοῦ κριοῦ καὶ τοῦ ♉, καὶ τοῦ ♌, τὰ μὲν ἄνω καὶ ἐμπρόσθια, ἔτι τὸ εὐεκτικώτερον, τὰ δὲ κάτω καὶ ὀπίσθια, ἔτι τὸ ἀ-

σθενέστερον